Τίπτε ἀτασθαλίῃσι μεμιγμένα ῥήματα βάζεις;
Τίπτε τε τοσσατίῃ εὔχε' ἐπ' ἀφροσύνῃ;
Ἐσθλὰ λέγειν ἐπέοικεν οἰήσιμα τοῖς ἀγαθοῖσιν,
Αὐτὸς δ' οὐδ' ᾗ χρὴ φαῦλα λαλεῖν ἐδάης.
Ἠρέμα γραμματίοισι διδάσκεο κάμμορε μίμνειν
σοῖσιν, καὶ κενεοῖς τέρπεο δοξαρίοις,
Μή τις σῇ θρασύτητι κινούμενος ἄγχι παραστὰς
δείξῃ σ' ἀμφαδὸν μηδὲν ἐπιστάμενον.
Εἰ δὴ τόδ' οὐκ ἐθέλησθα, ἐτώσια μήτ' ἀγόρευε
ῥήματα, ἰδ' Ἑλλήνων φείδεο εὐγενίης.
Φράζεο μὴ σ' ἀλάθητος ἐπὶ ψόγος ὦκα κιχείῃ,
εὖ τε ψευδοσύνης μέμφε' ἐμὴν γενεήν.
Ταῦτά γε παιδαρίων ἔνι παίγνια, εἰ δὴ σὺ βούλει
ἀτρεκέειν μαθέειν, ἡμετέροις μέτιθι.
Τόγρα γὰρ εἰ νοέεις λέγουσιν, ἃ τοὔμπαλιν εἴσῃ
μᾶλλον ψευδοσύνῃ τῇδέ σ' ἐνισχόμενον.
Ἡρόδοτος μούσῃσιν ἐν ἐννέα ἦ ῥα τοσαῦτα
Ψεύδε' ἐνιστορέει; Ἡρόδοτον νοέοις;
Οὐ μὰ τὸν ἀτρεκίῃσιν ἐφήμενον, οὔτε γ' ἐκεῖνος
Ψεύδεται, οὔτε τεὸς νοῦς ὑγιὴς τελέθει.
Κρῆτες ἐφημερίους μετὰ πᾶσαν ψεύδεα τεύχειν
οἴδασι; τεθναίην εἰ νοέεις ἃ λέγεις.
Εἰ δὴ τάδ' οὐ νοέειν μεμάθηκας, δεῦρο διδάσκου
Πῶς νοέειν σε, εἴ γ' ἐθέλεις τι λέγειν.

## Ἀρσένιος Ἐλασσῶνος.

Ὁ λόγιος οὗτος ἀρχιεπίσκοπος συνοδεύσας τῷ πατριάρχῃ Ἱερεμίῃ τῷ 1580 εἰς Ῥωσσίαν διὰ τὴν ἐνεῖσε καθίδρυσιν πατριαρχείου, συνέταξεν ἐκτεταμένην εἰς δεκαπεντασύλλαβον στίχον περιγραφὴν τῆς ὁδοιπορίας καὶ τῆς ἐν Μόσχᾳ διατριβῆς, ὑπὸ τὴν ἐπιγραφὴν— « Κόποι καὶ διατριβὴ τοῦ ταπεινοῦ ἀρχιεπισκόπου Ἀρσενίου, γράφει καὶ » τὴν προβίβασιν τοῦ πατριάρχου Μοσκοβίας ».

Τὸ τόσον πολύτιμον διὰ τὴν Ῥωσσικὴν Ἱστορίαν ποιημάτιον τοῦτο, ἐδημοσιεύθη τὸ πρῶτον (1749) μετὰ λατινικῆς μεταφράσεως ὑπὸ τῶν συνταξάντων τὸν κατάλογον τῆς βιβλιοθήκης τοῦ Ταυρίνου, Παζίνη, Ῥιβοτέλλα, ϗ Βέρτα (¹).

Ἡ λατινικὴ μετάφρασις ἐξεδόθη κατὰ μέρος τῷ 1809 ὑπὸ τοῦ Βέκμαν, καθ' ὁλοκληρίαν δὲ μετέπειτα ὑπὸ τοῦ Βίχμαν, καὶ τοῦ Σταρχζέβσκη. Ὁ παπολάτρης Ῥῶσσος πρίγκηψ Αὐγουστῖνος Γαλιτσίνος ἐδημοσίευσε τῷ 1857 καὶ μετάφρασιν γαλλικήν.

Τοῦ ἑλληνικοῦ κειμένου ἡ ἔκδοσις ἐγένετο ἀθλία, καὶ πλήρης πλείστων

(¹) Codices manuscripti Bibliothecæ Taurinensis Athenæi I, σελ. 433.